Χρυσόβουλλο Ἀλεξίου Α΄ Κομνηνοῦ (1088), ἐκδ. Ἔρας Βρανούση, Βυζαντινὰ Ἔγγραφα τῆς Μονῆς Πάτμου, Α΄ - Αὐτοκρατορικά, Ἀθῆναι 1980, ἀρ. 7.

† Τῷ εὐλαβεστάτῳ μοναχῷ καὶ ἡσυχαστῇ κῦ(ρ) Χριστοδούλῳ τῷ Λατρηνῷ δέησιν |2 ἀνενεγκόντι τῇ βασιλ(είᾳ) μου [. . .15. . τὴν ἐν Πά]τμῳ ἐκ καιν(ῆς) παρ' αὐτοῦ |3 νεουργηθησομένην μονὴν ἐξκουσσεύειν πλοῖον ἰδιό[κ]τητον χωρήσεως |4 ὃν μοδίων πε[ντακοσίων], μικρῷ πλέον ἢ ἔλασσον, ὡς ἂν διὰ τούτου τὰ |5 χρειώδη τοῖς μοναχ[οῖς] διακομίζηται, ὁ παρὼν χρυσόβουλλ(ος) **λόγος** |6 ἐπεβραβεύθη, δι' οὗ διορίζεται ἡ ἡμῶν θεοσέβεια ἐπ' ἀδείας εἶναι |7 τοῖς ἐν τῇ ῥηθείσῃ μονῇ δ[ιασκουμ]ένοις εὐλαβέσι μοναχοῖς καὶ παντὶ τῷ |8 μέρει αὐτ(ῆς) ἰδιόκτητον πλοῖον τῆς αὐτ(ῆς) τυγχάνον χωρήσε(ως) κατασκευάζουσ(ιν), |9 ἐξκουσσεύειν ε. . καὶ εἰς τοὺς ἑξῆς ἅπαντας καὶ διηνεκεῖς χρόνους, |10 ἀποπλέειν ὀφεῖλον ἔνθα ἂν οἱ μοναχοὶ βούλοιντο καὶ τὰ |11 χρειώδη τούτοις ἐμπορεύεσθαι· τῷ χρόνῳ μέντοι παλαιουμένου τούτου, |12 κἀντεῦθεν εἰς κίνδυνον ἀπονεύοντος ἢ ναυαγίῳ ἴσως περιπίπτοντο(ς) καὶ |13 ἀπολλυμένου, ἐξέσται τοῖς αὐτοῖς μοναχ[οῖ]ς, ἕτερον πλοῖον ἀνακαινίζειν, |14 τῆς αὐτ(ῆς) ὑπάρχον χωρήσε(ως) τῶν πεντακοσίων δηλονότ(ι) μοδί(ων), |15 ὀλίγῳ πλέον ἢ ἔλασσον, καὶ τῆς ἴσης καὶ αὐτὸ ἐπαπολαῦον ἐξκουσσεί(ας)· |16 οὐ προσάπαξ δὲ τοῖς αὐτοῖς μοναχ(οῖς) ὁ τοῦ τοιούτ(ου) πλοίου καινισμὸς |17 ἐκχωρηθήσεται, ἀλλ' ὁσάκις ἂν τῷ χρόνῳ διαφθαρήσετ(αι) ἢ ναυαγίῳ |18 τινὶ περιπεσ(εῖν) ἐπισυμβῇ· καὶ ἔσται ἀεὶ κ(α)τευμεγεθοῦν τὸ τοιοῦτ(ον) πλοῖον καὶ |19 οἱ τούτῳ ἐμπλέοντες παντὸς τοῦ ἐπηρεαστικ(ῶς) ἐπεμβαίνοντο(ς) καὶ |20 οὔτε ἀγγαρείᾳ καθυποβληθήσετ(αι), οὔτε πρὸ(ς) μετακομιδὴν τιν(ῶν) χρειωδ(ῶν) καὶ |21 αὐτῇ τῇ βα(σιλείᾳ) μου ἀναγκαιοτάτων ἀποσταλήσετ(αι), ἢ ἐμβλήσει κόκκου |22 ἢ συνων(ῆς) ἢ στραβοξυλ(ῆ) ἢ χόρτου εἰσαγωγῇ ἢ ἄλλῃ τινὶ λειτουργίᾳ |23 ἀναγκαιοτ(ά)τ(ῃ) βαρυνθήσετ(αι), ἀλλ' ἐλεύθερον πάντοθεν διατηρηθήσεται |24 καί, συνελόντα φάναι, παντὸς τοῦ ἐπηρεάζοντος καὶ πάσ(ης) καὶ παν|25τοί(ας) ἐπηρεί(ας) καὶ κακώσε(ως) νῦν τὲ οὔσης καὶ ἐς ὕστερον ἐπινοηθησομέν(ης) |26 ἀνώτερον τὸ τοιοῦτον πλοῖον διαμείν[ει] εἰς τὸ διηνεκές· καὶ |27 πλεύσει διὰ παντὸς ὅπου δὴ καὶ ὁπότε βούλετ(αι) εἰς τὰ τῆς ἑώας |28 ἅπαντ(α) μέρη καὶ τὰ ἑσπέρια, ἔτι δὲ καὶ εἰς τὰς ἁπανταχοῦ νήσ(ους) καὶ |29 ὑπ' οὐδενὸ(ς) τῶν ἁπάντων οὔτε κωλυθήσετ(αι) ἢ κατά τι ἀγγαρευθήσεται |30 ἢ ἄλλως ἐπηρεασθήσετ(αι)· καὶ αὐτοὶ γὰρ οἱ κ(α)τὰ χώραν δοῦκες, |31 κ(α)τεπά(νω) τὲ καὶ στρατηγοὶ καὶ οἱ τούτοις ἀντιπροσωποῦντες ἢ τοποτηρηταὶ καὶ |32 τουρμάρχαι ἢ ἑτερό(ς) τις δουλείαν οἱανδήτινα μεταχειριζόμενο(ς), ἐν οἷς |33 ἂν καὶ ἀποπλεύσειε μέρε(σι) τὸ διαληφθὲν πλοῖον, οὐ πρὸ(ς) ἐπήρειαν καὶ κάκωσ(ιν) |34 τούτῳ καὶ τοῖς αὐτῷ ἐμπλέουσιν ἀναφανήσοντ(αι) ἢ ἐξορίστ(ους) ἐν αὐτῷ ἐμβάλω(σιν) |35 ἢ τὸ σύνολον ἐπηρεάσουσι, μᾶλλον μὲν οὖν καὶ παντοίως τούτ(ου) κ(α)τὰ τὸ δυνατὸν |36 ἀνθέξοντ(αι) καὶ συλλήπτορες ἀντ' ἐπηρεαστῶν ἐφ' οἷς ἄρα καὶ χρείαν αὐτῶν |37 σχοίη φανήσοντ(αι), ὑφορωμ(έ)ν(ου) τοῦ κ(α)τατολμήσοντο(ς) ἀθετῆσαι τὶ τῶν |38 ἐνταῦθ(α) διειλημμένων τήν τε ἐκ τ(ῆς) βα(σιλείας) μου σφοδρὰν ἐπισπάσασθ(αι) ἀγανάκτ(ησιν) καὶ |39 τὴν εἰς τὸ τετραπλάσιον τοῦ ἴσ(ως) ἐκεῖθεν ἀφαιρεθησομένου ἀπότισιν· ὡς |40 γὰρ βεβαίου καὶ ἀσφα(λοῦς) τυγχά-ν(οντος) τοῦ παρ(όν)τ(ος) εὐσεβ(οῦς) χρυ(σο)β(ούλλου) **λόγου** τ(ῆς) βα(σιλείας) μου, γεγενη|41μένου κ(α)τὰ τὸν **Ἀπρίλλ(ιον)** μῆ(να) τ(ῆς) **ἑνδεκάτ(ης)** (ἰνδικτιῶνος) τοῦ ,ςφϞ ἕκτου ἔτ(ους)· |42 ἐν αὐτῷ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο |43 κράτο(ς) †

†† Legimus †

|44 † Ἀλέξιος ἐν Χ(ριστ)ῷ τῷ Θ(ε)ῷ πιστὸς βασιλ(εὺς) καὶ αὐτοκράτωρ |45 Ῥωμαί(ων) ὁ Κομνηνὸς ††

Verso:

|46 † κατε(στρώθη) [ἐν τῷ σεκρέτῳ] τοῦ γε(νικοῦ) λογοθ(εσίου) κατὰ τὴν ια'ην ἰν(δικτιῶνα)